UNIVERSITÄTS
BIBLIOTHEK
WUPPERTAL

BERGISCHE
UNIVERSITÄT
WUPPERTAL

# Universitätsbibliothek Wuppertal

## Stoicorvm vetervm fragmenta

Chrysippi fragmenta moralia

**Arnim, Hans von**

**Lipsiae, 1903**

III. Antipater Tarnsensis

**Nutzungsrichtlinien** Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-2776

Visual Library

## III. Antipater Tarsensis.

**1** Strabo XIV p. 674. ἄνδρες δ' ἐξ αὐτῆς (scil. τῆς Ταρσοῦ) γεγόνασι τῶν μὲν Στωϊκῶν Ἀντίπατρός τε καὶ Ἀρχέδημος καὶ Νέστωρ, ἔτι δ' Ἀθηνόδωροι δύο etc.

**2** Galenus hist. philos. 3 (p. 600, 10 Diels). τοῦ δὲ (scil. Chrysippi) Διογένης ὁ Βαβυλώνιος ἀκροατὴς γεγονὼς Ἀντιπάτρου καθηγητὴς γέγονε. τούτου δὲ Ποσειδώνιος ἠκροᾶτο.

**3** Cicero Tusc. disp. V 107 *Iam vero exilium — quantum tandem a perpetua peregrinatione differt? in qua aetates suas philosophi nobilissimi consumpserunt, — — Zeno, Cleanthes, Chrysippus, Antipater — — qui semel egressi numquam domum reverterunt.*

**4** Cicero Acad. Post. lib. I apud Nonium p. 65, 11. *quid Antipater digladiatur cum Carneade tot voluminibus.*

**5** Plutarchus de garrulitate cp. 23. ὁ μὲν γὰρ Στωϊκὸς Ἀντίπατρος, ὡς ἔοικε, μὴ δυνάμενος μηδὲ βουλόμενος ὁμόσε χωρεῖν τῷ Καρνεάδῃ μετὰ πολλοῦ ῥεύματος εἰς τὴν στοὰν φερομένῳ, γράφων δὲ καὶ πληρῶν τὰ βιβλία τῶν πρὸς αὐτὸν ἀντιλογιῶν καλαμοβόας ἐπεκλήθη.

**6** Strabo XIV p. 674. *commemorat Antipatrum philosophum Tarso oriundum.* Cf. Plut. de exilio cp. 14.

Cicero Acad. II 143. *quid? duo vel principes dialecticorum, Antipater et Archedemus, opiniosissimi homines, nonne multis in rebus dissentiunt.*

Numenius apud Euseb. XIV 8, 10. πᾶσα γοῦν Καρνεάδου διάνοια ἐνίκα καὶ οὐδεμία ἡτισοῦν ἄλλως, ἐπεὶ καὶ οἷς ἐπολέμει ἦσαν εἰπεῖν ἀδυνατώτεροι. Ἀντίπατρος γοῦν ὁ κατ' αὐτὸν γενόμενος ἔμελλε μὲν ἀγωνιᾶν τι γράφειν, πρὸς δ' οὖν τοὺς ἀπὸ Καρνεάδου καθ' ἡμέραν ἀποφερομένους λόγους οὔποτε ἐδημοσίευσεν, οὐκ ἐν ταῖς διατριβαῖς, οὐκ ἐν τοῖς περιπάτοις, οὐδὲ εἶπεν οὐδὲ ἐφθέγξατο, οὐδ' ἤκουσέ τις αὐτοῦ, φασίν, οὐδὲ γρῦ· ἀντιγραφὰς δὲ ἐπανετείνετο καὶ γωνίαν λαβὼν βιβλία κατέλιπε γράψας τοῖς ὕστερον, οὔτε νῦν δυνάμενα καὶ τότε ἦν ἀδυνατώτερα πρὸς οὕτως ἄνδρα ὑπέρμεγαν φανέντα

---

9 tandem a *Davisius*, damna *libri*.

*καὶ καταδόξαντα εἶναι τοῖς τότε ἀνθρώποις, τὸν Καρνεάδην· ὅμως δὲ καίτοι καὐτὸς ὑπὸ τῆς Στωϊκῆς φιλοτιμίας εἰς τὸ φανερὸν κυκῶν, πρός γε τοὺς ἑαυτοῦ ἑταίρους δι' ἀποῤῥήτων ὡμολόγει τε καὶ ἠλήθευε καὶ ἀπεφαίνετο ἃ κἂν ἄλλος τῶν ἐπιτυχόντων.*

7 Diog. Laërt. IV 64. *μαθών τε* (scil. *ὁ Καρνεάδης*) *Ἀντίπατρον φάρμακον πιόντα ἀποθανεῖν, παρωρμήθη πρὸς τὸ εὔθαρσὲς τῆς ἀπαλλαγῆς καί φησι· δότε οὖν κἀμοί. τῶν δὲ εἰπόντων· τί; οἰνόμελι, εἰπεῖν.*

Stob. Floril. 119, 19. *Καρνεάδης Ἀντιπάτρου αὑτὸν ἐξαγαγόντος γέρων ὢν δύο κύλικας ἐκέρασε, τὴν μὲν κωνείου, τὴν δὲ οἰνομέλιτος. Καὶ τὴν τοῦ κωνείου τοῖς λοιποῖς Στωϊκοῖς εἰπὼν προπίνειν, τὴν τοῦ οἰνομέλιτος ἐξέπιε, διαπαίζων τὴν σπουδὴν τῶν ἑκουσίως ἐκλειπόντων τὸν βιόν.*

8 Cicero de fin. I 6. *Quid enim est a Chrysippo praetermissum in Stoicis? Legimus tamen Diogenem, Antipatrum.*

9 Arrianus Epicteti dissert. III 2, 13. *εἰ Χρύσιππον ἀνέγνως ἢ Ἀντίπατρον; εἰ μὲν γὰρ καὶ Ἀρχέδημον, ἀπέχεις ἅπαντα.*

III 21, 7. *καὶ μὴν ἐγὼ ὑμῖν ἐξηγήσομαι τὰ Χρυσίππεια, ὡς οὐδείς· τὴν λέξιν διαλύσω καθαρώτατα· προσθήσω ἄν που καὶ Ἀντιπάτρου καὶ Ἀρχεδήμου φοράν.*

**10** Arrianus Epict. dissert. II 17, 40. *οὐδ' ἐγγὺς ἐσόμεθα τοῦ προκόψαι, κἂν πάσας τὰς εἰσαγωγὰς καὶ τὰς συντάξεις τὰς Χρυσίππου μετὰ τῶν Ἀντιπάτρου καὶ Ἀρχεδήμου διέλθωμεν.*

**11** Ind. Stoic. Herc. col. LIII. *διακηκόει κ(αὶ) διάδο|χος ἐγ(έ)νετο (τῆ)ς Ἀντι|πάτρου σχολῆς· Δάρ|δανος Ἀνδρομάχο(υ Ἀ)|θη(ν)αῖος, καὶ οὗτ(ος) | . . ναι . . . . σχολ(ὴν . . . | . . . ἐμενος· Ἀπολλ(όδω|ρος) Ἀθηναῖος· Δ . . .*

*Discipulos hic enumerari Antipatri inde probavit Comparettius, quod et Panaetius, qui initio Antipatri successor dicitur, et Dardanus iam col. LI commemorati sunt, ut discipuli scilicet Diogenis Babylonii.*

**12** Ind. Stoic. Herc. col. LX. *καὶ διὰ (μ)εγάλην ἕξιν | ἰδιοπραγεῖν δυνάμε|νος, οὐκ ἔκρινεν, ἀλλ' ἀ|(εὶ) (π)ροεξάγειν Ἀντιπά|(τρ)ῳ· καὶ τοῦτο ποιῶν | (μέ)χρι τέλο(υ)ς ἀμελ(έ)|(τη)τος ἐγένετο· χρόν(ῳ | δὲ) ὁ μὲν δ(ιὰ τ)ὸ γῆρα(ς οὐ σ)χολάζ(ων . ατο . κ . .*

**13** Plutarchus vita Tib. Gracchi cp. 8. *Διοφάνους τοῦ ῥήτορος καὶ Βλοσσίου τοῦ φιλοσόφου παρορμησάντων αὐτόν, ὧν ὁ μὲν — — ὁ δὲ αὐτόθεν ἐξ Ἰταλίας Κυμαῖος, Ἀντιπάτρου τοῦ Ταρσέως*

---

26 fortasse: *καὶ οὗτ(ος ἐν Ἀ|θή)ναι(ς τὴν) σχολ(ὴν δια|τιθ)έμενος.*
32 Narrat quomodo Panaetius erga Antipatrum Tarsensem magistrum se gesserit.

*γεγονὼς ἐν ἄστει συνήθης καὶ τετιμημένος ὑπ' αὐτοῦ προσφωνήσεσι γραμμάτων φιλοσόφων.*

**14** Athen. V p. 186c. *Ἀντίπατρος δ' ὁ φιλόσοφος συμπόσιόν ποτε συνάγων συνέταξε τοῖς ἐρχομένοις ὡς περὶ σοφισμάτων ἐροῦσιν.*

ibid. 186a. *πολλῶν γοῦν εἰσι φιλοσόφων ἐν ἄστει σύνοδοι τῶν μὲν Διογενιστῶν, τῶν δὲ Ἀντιπατριστῶν λεγομένων, τῶν δὲ Παναιτιαστῶν.*

**15** Plutarchus de tranq. cp. 9. *Ἀντίπατρος δὲ ὁ Ταρσεὺς πρὸς τῷ τελευτᾶν ὧν ἔτυχεν ἀγαθῶν ἀναλογιζόμενος οὐδὲ τὴν εὔπλοιαν παρέλιπε τὴν ἐκ Κιλικίας αὐτῷ γενομένην εἰς Ἀθήνας.*

vita Marii cp. 46. *καὶ νὴ Δία τὸν Ταρσέα λέγουσιν Ἀντίπατρον ὡσαύτως ὑπὸ τὴν τελευτὴν ἀναλογιζόμενον ὧν τύχοι μακαρίων μηδὲ τῆς εἰς Ἀθήνας οἴκοθεν εὐπλοίας ἐπιλαθέσθαι, καθάπερ φιλοχρήστου τῆς τύχης ἅπασαν δόσιν εἰς μεγάλην χάριν τιθέμενον καὶ σῴζοντα τῇ μνήμῃ διὰ τέλους, ἧς οὐδέν ἐστιν ἀνθρώπῳ ταμιεῖον ἀγαθῶν βεβαιότερον.*

## Fragmenta logica.

**16** Diocles Magnes apud Diog. Laërt. VII 55. *καὶ σῶμα δ' ἐστὶν ἡ φωνὴ κατὰ τοὺς Στωϊκούς, ὥς φησιν Ἀρχέδημος — — καὶ Διογένης καὶ Ἀντίπατρος —. πᾶν γὰρ τὸ ποιοῦν σῶμά ἐστι· ποιεῖ δὲ ἡ φωνὴ προσιοῦσα τοῖς ἀκούουσιν ἀπὸ τῶν φωνούντων.*

**17** Varro de lingua latina VI 1. *In hoc (scil. libro) dicam de vocabulis temporum et earum rerum quae in agendo fiunt aut dicuntur cum tempore aliquo ut Sedetur, Ambulatur, Loquontur; atque si qua erunt ex diverso genere adiuncta, potius cognationi verborum quam auditori calumnianti geremus morem. Huius rei auctor satis mihi Chrysippus et Antipater et illi in quibus, si non tantum acuminis, at plus litterarum, in quo est Aristophanes et Apollodorus, qui omnes verba ex verbis ita declinari scribunt, ut verba litteras alia assumant, alia mittant, alia commutent.*

**18** Diocles Magnes apud Diog. Laërt. VII 54. *κριτήριον δὲ τῆς ἀληθείας φασὶ τυγχάνειν τὴν καταληπτικὴν φαντασίαν, τουτέστι τὴν ἀπὸ ὑπάρχοντος, καθά φησι Χρύσιππος — — καὶ Ἀντίπατρος καὶ Ἀπολλόδωρος.*

**19** Plutarchus Stoic. rep. 47, 12. *καὶ μὴν ἔν γε τοῖς πρὸς τοὺς Ἀκαδημαϊκοὺς ἀγῶσιν ὁ πλεῖστος αὐτῷ τε Χρυσίππῳ καὶ Ἀντιπάτρῳ πόνος γέγονε περὶ τοῦ μήτε πράττειν μήτε ὁρμᾶν ἀσυγκαταθέτως, ἀλλὰ πλάσματα λέγειν καὶ κενὰς ὑποθέσεις τοὺς ἀξιοῦντας οἰκείας*

---

21 προσοῦσα BP (corr. P[1]).

φαντασίας γενομένης εὐθὺς ὁρμᾶν μὴ εἴξαντας μηδὲ συγκατατιθεμένους.

**20** Cicero Acad. Pr. II 17. *Sed quod nos facere nunc ingredimur, ut contra Academicos disseramus, id quidam e philosophis, et ii quidem non mediocres, faciundum omnino non putabant; nec vero esse ullam rationem disputare cum iis, qui nihil probarent; Antipatrumque Stoicum, qui multus in eo fuisset, reprehendebant nec definiri aiebant necesse esse, quid esset cognitio aut perceptio aut, si verbum e verbo volumus, comprehensio, quam* κατάληψιν *illi vocant; eosque qui persuadere vellent esse aliquid, quod comprehendi et percipi posset, inscienter facere dicebant* etc.

**21** Cicero Acad. Pr. II 9, 28. *Ex hoc illud est natum quod postulabat Hortensius, ut id ipsum saltem perceptum a sapiente diceretis, nihil posse percipi. Sed Antipatro hoc idem postulanti, cum diceret, ei qui affirmaret nihil posse percipi, unum tamen illud dicere percipi posse consentaneum esse, ut alia non possent, Carneades acutius resistebat.*

ibid. 34, 109. *Et tamen illud usitatum et saepe repudiatum refers, non ut Antipater, sed ut ais pressius. Nam Antipatrum reprehensum, quod diceret, consentaneum esse ei, qui affirmaret, nihil posse comprehendi, id ipsum saltem dicere posse comprehendi, quod ipsi Antiocho pingue videbatur et sibi ipsum contrarium.*

**22** Diocles Magnes apud Diog. Laërt. VII 57. τοῦ δὲ λόγου ἐστὶ μέρη πέντε — — — ὄνομα, προσηγορία, ῥῆμα, σύνδεσμος, ἄρθρον· ὁ δὲ Ἀντίπατρος καὶ τὴν μεσότητα τίθησιν ἐν τοῖς περὶ λέξεως καὶ τῶν λεγομένων.

**23** Diocles Magnes apud Diog. Laërt. VII 60. ὅρος δέ ἐστιν, ὥς φησιν Ἀντίπατρος ἐν τῷ πρώτῳ περὶ ὅρων λόγος κατὰ ἀνάλυσιν ἀπαρτιζόντως ἐκφερόμενος — — —

ὑπογραφὴ δέ ἐστι λόγος τυπωδῶς εἰσάγων εἰς τὰ πράγματα ἢ λόγος ἁπλούστερον τὴν τοῦ ὅρου δύναμιν προενηνεγμένος.

**24** Alexander in Aristot. Top. p. 42, 27. οἱ δὲ λέγοντες ὅρον εἶναι λόγον κατὰ ἀνάλυσιν ἀπαρτιζόντως ἐκφερόμενον, ἀνάλυσιν μὲν λέγοντες τὴν ἐξάπλωσιν τοῦ ὁριστοῦ [καὶ] κεφαλαιώδη, ἀπαρτιζόντως δὲ τὸ μήτε ὑπερβάλλειν μήτε ἐνδεῖν, οὐδὲν ἂν λέγοιεν τὸν ὅρον διαφέρειν τῆς τοῦ ἰδίου ἀποδόσεως.

**25** Cicero Acad. Pr. II 143. *In hoc ipso, quod in elementis dia-*

---

15 ei qui A[1], eique A[2]BV. 29 ἀπαρτιζόντος B. 31 λόγος scripsi, ὅρος libri. ‖ προενηνεγμένος scripsi, προσενηνεγμένος libri. 34 κεφαλαιώδη Diels, καὶ κεφαλαιωδῶς libri.

*lectici docent, quo modo iudicare oporteat, verum falsumne sit, si quid ita conexum est, ut hoc „si dies est, lucet", quanta contentio est! Aliter Diodoro, aliter Philoni, Chrysippo aliter placet. Quid? cum Cleanthe, doctore suo, quam multis rebus Chrysippus dissidet? quid? duo vel principes dialecticorum,* A n t i p a t e r *et Archidemus, opiniosissimi homines, nonne multis in rebus dissentiunt?*

**26** Alexander in Aristot. Topica p. 8, 16 Wal. οὓς γὰρ οἱ περὶ Ἀντίπατρον μονολημμάτους συλλογισμοὺς λέγουσιν, οὐκ εἰσὶ συλλογισμοί, ἀλλ' ἐνδεῶς ἐρωτῶνται, ὡς οἱ τοιοῦτοι „ἡμέρα ἐστί, φῶς ἄρα ἐστίν." „ἀναπνεῖς, ζῇς ἄρα." *Deinde exponit in eiusmodi conclusionibus propositionem maiorem omissam esse.*

[Apuleius] περὶ ἑρμηνείας 272 (p. 9, 6 Goldb.). *ex una acceptione non fit collectio, licet Antipatro Stoico contra omnium sententiam videatur plena conclusio esse: „Vides: vivis igitur".*

**27** Alexander in Aristot. Anal. pr. p. 17, 11 Wal. οὐ γάρ εἰσι συλλογισμοὶ οἱ λεγόνενοι ὑπὸ τῶν νεωτέρων μονολήμματοι. 18. οἱ δὲ λεγόμενοι μονολήμματοι δοκοῦσιν εἶναί ποτε συλλογισμοὶ τῷ τὴν ἑτέραν πρότασιν διὰ τὸ εἶναι γνώριμον τοὺς ἀκούοντας προστιθέναι. τὸ γὰρ „ἀναπνεῖς, ζῇς ἄρα" δοκεῖ συλλογισμὸς εἶναι, ὅτι παρ' αὑτοῦ προστίθησιν ὁ ἀκούσας τὴν ἑτέραν πρότασιν οὖσαν γνώριμον, τὴν „πᾶς ὁ ἀναπνέων ζῇ."

**28** Sextus hypotyp. II 167. εἰ δὲ οὐκ ἀρέσκει τισὶ λόγους μονολημμάτους εἶναι, οὐκ εἰσὶν ἀξιοπιστότεροι Ἀντιπάτρου, ὃς οὐδὲ τοὺς τοιούτους λόγους ἀποδοκιμάζει.

idem adv. math. VIII 443. Ἀντίπατρος γάρ, τῶν ἐν τῇ Στωϊκῇ αἱρέσει ἐπιφανεστάτων ἀνδρῶν, ἔφη δύνασθαι καὶ μονολημμάτους λόγους συνίστασθαι.

Cf. Varro Marcopolis fr. I (Sat. Men. ed. Riese p. 165). *Cui Celer* Διενοσλημματοσλόγος, *Antipatri Stoici filius rutro caput displanat.*|

**29** Arrianus Epict. dissert. II 19, 9. *(aliis qui* περὶ δυνατῶν *et* περὶ τοῦ κυριεύοντος *scripserunt, enumeratis)* γέγραφεν δὲ καὶ Ἀντίπατρος, οὐ μόνον δ' ἐν τοῖς περὶ δυνατῶν, ἀλλὰ καὶ κατ' ἰδίαν ἐν τοῖς περὶ τοῦ κυριεύοντος.

**30** Arrianus Epictet. dissert. II 19, 2. λοιπὸν ὁ μέν τις ταῦτα τηρήσει τῶν δυεῖν, ὅτι ἔστι τέ τι δυνατόν, ὃ οὔτ' ἔστιν ἀληθὲς οὔτ' ἔσται, καὶ δυνατῷ ἀδύνατον οὐκ ἀκολουθεῖ· οὐ πᾶν δὲ παρεληλυθὸς ἀληθὲς ἀναγκαῖόν ἐστι, καθάπερ οἱ περὶ Κλεάνθην φέρεσθαι δοκοῦσιν, οἷς ἐπὶ πολὺ συνηγόρησεν Ἀντίπατρος.

**31** Galenus de Hippocr. et Plat. decr. II 3. p. 182 Mü. νυνὶ δὲ

---

5 opinosissimi AB, spinosissimi *C. F. Hermann.*

πῶς μὲν οἱ διὰ δύο τροπικῶν ἢ τριῶν ἀναλύονται συλλογισμοὶ καὶ πῶς οἱ ἀδιαφόρως περαίνοντες ἤ τινες ἄλλοι τοιοῦτοι, τῷ πρώτῳ καὶ δευτέρῳ θέματι προσχρώμενοι, πολλοῖς ἔστι συντυχεῖν ἀκριβῶς ἠσκημένοις, ὥσπερ ἀμέλει καὶ ἐπ' ἄλλοις, ὅσοις διὰ τοῦ τρίτου θέματος ἢ τετάρτου συλλογισμοὺς ἀναλύουσι· καίτοι τούτων τοὺς πλείστους ἔνεστιν ἑτέρως ἀναλύειν συντομώτερον, ὡς Ἀντίπατρος ἔγραψεν.

## Fragmenta physica.

**32** Diog. Laërt. VII 150. σῶμα δέ ἐστι κατ' αὐτοὺς ἡ οὐσία καὶ πεπερασμένη, καθά φησιν Ἀντίπατρος ἐν δευτέρῳ περὶ οὐσίας.

**33** Plutarchus de Stoic. repugn. cp. 38. Ἀντίπατρος ὁ Ταρσεὺς ἐν τῷ περὶ θεῶν γράφει ταῦτα κατὰ λέξιν „Πρὸ δὲ τοῦ σύμπαντος λόγου τὴν ἐνάργειαν, ἣν ἔχομεν περὶ θεοῦ, διὰ βραχέων ἐπιλογιούμεθα· θεὸν τοίνυν νοοῦμεν ζῷον μακάριον καὶ ἄφθαρτον καὶ εὐποιητικὸν ἀνθρώπων.“ εἶτα τούτων ἕκαστον ἀφηγούμενος, φησὶν οὕτω „καὶ μὴν ἀφθάρτους αὐτοὺς ἡγοῦνται πάντες.“

**34** Plutarchus de Stoic. repugn. cp. 38 p. 1052b. τούτοις ἔτι βούλομαι παραβαλεῖν μικρὰ τῶν ὑπὸ τοῦ Ἀντιπάτρου λεγομένων· „ὅσοι δὲ περιαιροῦνται τὸ εὐποιητικὸν ἐκ τῶν θεῶν, ἀπὸ μέρους προσβάλλουσι τῇ τούτων προλήψει· κατὰ τὸν αὐτὸν λόγον καὶ οἱ νομίζοντες αὐτοὺς γενέσεώς τε καὶ φθορᾶς κοινωνεῖν.“

**35** Aëtii plac. philos. I 27,6 (p. 322b Diels). Ἀντίπατρος ὁ Στωϊκὸς θεὸν ἀπεφαίνετο τὴν εἱμαρμένην.

**36** Macrob. I 17,36. *Apollinis Lycii plures accipimus cognominis causas. Antipater Stoicus Lycium Apollinem nuncupatum scribit* ἀπὸ τοῦ λευκαίνεσθαι πάντα φωτίζοντος ἡλίου.

**37** Cicero de divin. I 6. *Quem (scil. Chrysippum) subsequens unum librum (scil.* περὶ μαντικῆς*) Babylonius Diogenes edidit, eius auditor, duo Antipater.*

**38** Cicero de divin. I 123. *Permulta collecta sunt ab Antipatro, quae mirabiliter a Socrate divinata sunt; quae praetermittam.* —

124. *Illud tamen eius philosophi magnificum ac paene divinum, quod, cum impiis sententiis damnatus esset, aequissimo animo se dixit mori; neque enim domo egredienti neque illud suggestum, in quo causam dixerat, ascendenti signum sibi ullum, quod consuesset, a deo quasi mali alicuius impendentis datum.*

**39** Cicero de divin. II 35. *Pudet me non tui quidem, cuius etiam memoriam admiror, sed Chrysippi, Antipatri, Posidonii, qui idem*

---

12 ἐνέργειαν libri, ἐνάργειαν Mez, ἔννοιαν Wy. 18 προσβάλλουσι Wy., προβάλλουσι libri. 29 collecta *Victorius*, coniecta *libri*.

*istuc quidem dicunt, quod est dictum a te, ad hostiam deligendam ducem esse vim quandam sentientem atque divinam, quae toto confusa mundo sit. Illud vero multo etiam melius, quod et a te usurpatum est et dicitur ab illis: quum immolare quispiam velit, tum fieri extorum mutationem, ut aut absit aliquid aut supersit: deorum enim numini parere omnia.*

**40** Cicero de divin. I 84. *Hac ratione et Chrysippus et Diogenes et Antipater utitur* (Chrys. Vol. II n. 1192).

**41** Cicero de divin. I 39. *veniamus ad somnia: de quibus disputans Chrysippus multis et minutis somniis colligendis facit idem quod Antipater, ea conquirens quae Antiphontis interpretatione explicata declarant illa quidem acumen interpretis: sed exemplis grandioribus decuit uti.*

**42** Cicero de divin. II 144. *Quid? ipsorum interpretum coniecturae nonne magis ingenia declarant eorum, quam vim consensumque naturae? Cursor ad Olympia proficisci cogitans visus est in somnis curru quadrigarum vehi. Mane ad coniectorem. At ille: vinces, inquit. Id enim celeritas significat et vis equorum. Post idem ad Antiphontem. Is autem: vincare, inquit, necesse est. An non intelligis, quattuor ante te cucurrisse? Ecce alius cursor (atque horum somniorum et talium plenus est Chrysippi liber, plenus Antipatri) sed ad cursorem redeo* etc.

**43** Diog. Laërt. VII 140. *ἕνα τὸν κόσμον εἶναι καὶ τοῦτον πεπερασμένον, σχῆμα ἔχοντα σφαιροειδές· πρὸς γὰρ τὴν κίνησιν ἁρμοδιώτατον τὸ τοιοῦτον, καθά φησι Ποσειδώνιος — — καὶ οἱ περὶ Ἀντίπατρον ἐν τοῖς περὶ κόσμου.*

**44** Diog. Laërt. VII 148. *οὐσίαν δὲ θεοῦ Ζήνων μέν φησι τὸν ὅλον κόσμον καὶ τὸν οὐρανόν, ὁμοίως δὲ καὶ Χρύσιππος — —. καὶ Ἀντίπατρος ἐν ἑβδόμῳ περὶ κόσμου ἀεροειδῆ φησιν αὐτοῦ τὴν οὐσίαν.*

**45** Diog. Laërt. VII 142. *περὶ δὴ οὖν τῆς γενέσεως καὶ τῆς φθορᾶς τοῦ κόσμου φησὶ Ζήνων — — — καὶ Ἀντίπατρος ἐν τῷ δεκάτῳ περὶ κόσμου* (placitum vide Chrys. fr. phys. 581).

**46** Macrob. I 17, 57. *haec est autem de nece draconis ratio naturalis, ut scribit Antipater Stoicus. nam terrae adhuc umidae exhalatio meando in supera volubili impetu atque inde sese, postquam cale-*

---

21 ipsa somnia vide Chrys. Vol. II n. 1206. 24 *ἁρμονιώτατον* BP. 25 *τοιοῦτο* BP. 27 *θυσίαν* P (corr. P[1]). 29 *ἀέρος δῆ* (*δὴ* B[2]) B. 31 *γενέσεώς τε καὶ φθορᾶς* BP (om. *τῆς*). 33 *ἐν τῷ ι* BP. numerus suspectus; nam fortasse fuit: *ἐν τῶι περὶ κόσμου.*

*facta est, instar serpentis mortiferi in infera revolvendo corrumpebat omnia vi putredinis, quae non nisi ex calore et umore generatur, ipsumque solem densitate caliginis obtegendo videbatur quodam modo lumen eius eximere: sed divino fervore radiorum tandem velut sagittis incidentibus extenuata exsiccata enecta interempti draconis ab Apolline fabulam fecit.*

**47** Plutarchus de sollert. anim. cp. 4. ὄνοις δὲ καὶ προβάτοις Ἀντίπατρος ἐγκαλῶν ὀλιγωρίαν καθαριότητος, οὐκ οἶδα πῶς παρῆλθε τὰς λύγγας καὶ τὰς χελιδόνας etc.

**48** Plutarchus Aetia physica 38 (ex versione Gyberti Longolii). *Cur lupae certo anni tempore omnes intra duodecim dies pariunt?*

*Antipater in libro de Animalibus partum lupas proicere adserit, quum glandiferae arbores florem abiciunt, quo gustato uteri illarum reserantur; quum eius copia non est, partum in ipso corpore emori nec in lucem venire posse. propterea regiones illas a lupis non vastari, quae glandium quercuumque feraces non sunt.*

Cf. Cic. de divin. II 33. (possunt haec Stoico Antipatro vindicari de συμπαθείᾳ disserenti, sed certi nihil affirmare licet.)

**49** Diog. Laërt. VII 157. Ζήνων δὲ ὁ Κιτιεὺς καὶ Ἀντίπατρος ἐν τοῖς περὶ ψυχῆς — — πνεῦμα ἔνθερμον εἶναι τὴν ψυχήν· τούτῳ γὰρ ἡμᾶς εἶναι ἐμπνόους καὶ ὑπὸ τούτου κινεῖσθαι.

**50** Scholia in Hom. Iliad. Λ 115. ἁπαλόν τέ σφ' ἦτορ ἀπηύρα: οὕτως Ἀριστοτέλης καὶ Ἀντίπατρος ὁ ἰατρὸς συναύξεσθαί φασι τῷ σώματι τὴν ψυχὴν καὶ συμμειοῦσθαι πάλιν.

τοῦτο ἐκίνησε τοὺς Στωϊκοὺς καὶ Ἀντίπατρον ἐν τῷ περὶ ψυχῆς δευτέρῳ λέγειν ὅτι συναύξεται τῷ σώματι ἡ ψυχὴ καὶ πάλιν συμμειοῦται.

## Fragmenta moralia.

**51** Diog. Laërt. VII 84. τὸ δὲ ἠθικὸν μέρος τῆς φιλοσοφίας διαιροῦσιν (ipsam partitionem vide Chrys. fr. eth. 1) καὶ οὕτω δ' ὑποδιαιροῦσιν οἱ περὶ Χρύσιππον — — καὶ Ἀντίπατρον etc.

**52** Stobaeus ecl. II 83, 10. πάντα δὲ τὰ κατὰ φύσιν ἀξίαν ἔχειν καὶ πάντα τὰ παρὰ φύσιν ἀπαξίαν. τὴν δὲ ἀξίαν λέγεσθαι τριχῶς, τήν τε δόσιν καὶ τιμὴν καθ' αὑτὸ καὶ τὴν ἀμοιβὴν τοῦ δοκιμαστοῦ· καὶ τὴν τρίτην, ἣν ὁ Ἀντίπατρος ἐκλεκτικὴν προσαγορεύει, καθ' ἣν διδόντων τῶν πραγμάτων τάδε τινὰ μᾶλλον ἀντὶ τῶνδε αἱρούμεθα, οἷον ὑγίειαν ἀντὶ νόσου καὶ ζωὴν ἀντὶ θανάτου καὶ πλοῦτον ἀντὶ πενίας. κατὰ τὸ ἀνάλογον δὲ καὶ τὴν ἀπαξίαν τριχῶς φασι λέγεσθαι,

34 τε F, δὲ P. ‖ τιμὴν Meineke, τὴν libri. 35 ἣν F, καὶ P.

ἀντιτιθεμένων τῶν σημαινομένων τοῖς ἐπὶ τῆς πρώτης ἀξίας εἰρημένοις.

**53** Seneca epist. ad Lucil. 92, 5. *Quidam tamen augeri summum bonum iudicant, quia parum plenum sit fortuitis repugnantibus. Antipater quoque inter magnos sectae huius auctores aliquid se tribuere dicit externis, sed exiguum admodum. vides autem quale sit, sole te non esse contentum, nisi aliquis igniculus adluxerit?*

**54** Seneca epist. ad Lucil. 87, 38. *„Ex malis bonum non fit. ex multis paupertatibus divitiae fiunt: ergo divitiae bonum non sunt." Hanc interrogationem nostri non agnoscunt: Peripatetici et fingunt illam et solvunt. ait autem Posidonius hoc sophisma, per omnes dialecticorum scholas iactatum, sic ab Antipatro refelli: „Paupertas non per positionem dicitur, sed per detractionem (vel ut antiqui dixerunt per orbationem. Graeci* κατὰ στέρησιν *dicunt). non quod habeat dicitur, sed quod non habeat. itaque ex multis inanibus nihil impleri potest: divitias multae res faciunt, non multae inopiae. Aliter, inquit, quam debes, paupertatem intellegis. paupertas enim est non quae pauca possidet, sed quae multa non possidet: ita non ab eo dicitur, quod habet, sed ab eo, quodo ei deest." Facilius quod volo exprimerem, si latinum verbum esset, quo* ἀνυπαρξία *significa[re]tur. hanc paupertati Antipater adsignat.*

**55** Cicero de finibus III 57. *Qui autem post eos fuerunt (scil. post Chrysippum et Diogenem) cum Carneadem sustinere non possent, hanc quam dixi bonam famam ipsam propter se praepositam et sumendam esse dixerunt, esseque hominis ingenui et liberaliter educati velle bene audire a parentibus, a propinquis, a bonis etiam viris, idque propter rem ipsam, non propter usum, dicuntque ut liberis consultum velimus, etiam si postumi futuri sint, propter ipsos, sic futurae post mortem famae tamen esse propter rem, etiam detracto usu, consulendum.*

**56** Clemens Alex. Stromat. V 14 p. 254 Sylb., V. II p. 705 Pott. Ἀντίπατρος μὲν οὖν ὁ Στωϊκὸς τρία συγγραψάμενος βιβλία περὶ τοῦ „ὅτι κατὰ Πλάτωνα μόνον τὸ καλὸν ἀγαθόν", ἀποδείκνυσιν ὅτι καὶ κατ' αὐτὸν αὐτάρκης ἡ ἀρετὴ πρὸς εὐδαιμονίαν· καὶ ἄλλα πλείω παρατίθεται δόγματα σύμφωνα τοῖς Στωϊκοῖς.

**57** Stobaeus ecl. II 75, 11 W. τὸ δὲ τέλος ὁ μὲν Ζήνων οὕτως ἀπέδωκε „τὸ ὁμολογουμένως ζῆν" — — οἱ δὲ μετὰ τοῦτον προσδιαρθροῦντες οὕτως ἐξέφερον — — — Ἀντίπατρος δὲ „ζῆν ἐκλεγομένους μὲν τὰ κατὰ φύσιν, ἀπεκλεγομένους δὲ τὰ παρὰ φύσιν". πολλάκις δὲ καὶ οὕτως ἀπεδίδου „πᾶν τὸ καθ' αὑτὸν ποιεῖν διηνεκῶς

1 τριττῆς Wachsm. 25 esseque cod. BE Madv., esse A.

*καὶ ἀπαραβάτως πρὸς τὸ τυγχάνειν τῶν προηγουμένων κατὰ φύσιν.“*

**58** Clemens Alex. Stromat. II 21 p. 179 Sylb., V. II p. 497 Pott. ὅ τε Ἀντίπατρος, ὁ τούτου (scil. Diogenis, cuius antecessit definitio) γνώριμος, τὸ τέλος κεῖσθαι ἐν τῷ διηνεκῶς καὶ ἀπαραβάτως ἐκλέγεσθαι μὲν τὰ κατὰ φύσιν, ἀπεκλέγεσθαι δὲ τὰ παρὰ φύσιν ὑπολαμβάνει.

**59** Plutarchus de comm. not. cp. 27. *οὐσίαν τἀγαθοῦ τίθενται τὴν εὐλόγιστον ἐκλογὴν τῶν κατὰ φύσιν· ἐκλογὴ δὲ οὐκ ἔστιν εὐλόγιστος ἡ μὴ πρός τι γενομένη τέλος. — τί οὖν τοῦτό ἐστιν; οὐδὲν ἄλλο, φασίν, ἢ τὸ εὐλογιστεῖν ἐν ταῖς τῶν κατὰ φύσιν ἐκλογαῖς. — — τὴν εὐλόγιστον ἐκλογὴν ἀγαθῶν ἔδει καὶ ὠφελίμων καὶ συνεργῶν πρὸς τὸ τέλος ἐκλογὴν εἶναι· τὸ γὰρ ἐκλέγεσθαι τὰ μήτε συμφέροντα μήτε τίμια μήτε ὅλως αἱρετά, πῶς εὐλόγιστόν ἐστιν; ἔστω γάρ, ὡς αὐτοὶ λέγουσιν, εὐλόγιστος ἐκλογὴ τῶν ἀξίαν ἐχόντων πρὸς τὸ εὐδαιμονεῖν. ὅρα τοίνυν ὡς εἰς πάγκαλόν τι καὶ σεμνὸν αὐτοῖς ὁ λόγος ἐξήκει κεφάλαιον. ἔστι γάρ, ὡς ἔοικε, τέλος κατ' αὐτοὺς τὸ εὐλογιστεῖν ἐν τῇ ἐκλογῇ τῶν ἀξίαν ἐχόντων πρὸς τὸ εὐλογιστεῖν. — — ἄλλην γὰρ οὐσίαν τοῦ ἀγαθοῦ καὶ τῆς εὐδαιμονίας οὔτε ἔχειν φασὶν οὔτε νοεῖν οἱ ἄνδρες ἢ τὴν πολυτίμητον εὐλογιστίαν ταύτην περὶ τὰς ἐκλογὰς τῶν ἀξίαν ἐχόντων. ἀλλὰ τοῦτο μέν εἰσιν οἱ πρὸς Ἀντίπατρον οἰόμενοι λέγεσθαι, μὴ πρὸς τὴν αἵρεσιν· ἐκεῖνον γὰρ ὑπὸ Καρνεάδου πιεζόμενον εἰς ταύτας καταλύεσθαι τὰς εὑρεσιλογίας.*

**60** Diog. Laërt. VII 92. *Παναίτιος μὲν οὖν δύο φησὶν ἀρετάς — — τέτταρας δὲ οἱ περὶ Ποσειδώνιον καὶ πλείονας οἱ περὶ Κλεάνθην καὶ Χρύσιππον καὶ Ἀντίπατρον.*

**61** Cicero de off. III 50. *sed incidunt — saepe causae, quum repugnare utilitas honestati videatur, ut animadvertendum sit repugnetne plane an possit cum honestate coniungi.*

51. *In huiusmodi causis aliud Diogeni Babylonio videri solet, magno et gravi Stoico, aliud Antipatro, discipulo eius, homini acutissimo. Antipatro omnia patefacienda, ut nequid omnino, quod venditor norit, emptor ignoret. — —*

52. *Exoritur Antipatri ratio ex altera parte: „Quid ais? Tu quum hominibus consulere debeas et servire humanae societati eaque lege natus sis et ea habeas principia naturae, quibus parere et quae sequi debeas, ut utilitas tua communis sit utilitas vicissimque communis utilitas tua sit, celabis homines, quid iis adsit commoditatis et copiae?“ — —*

54. *„Quid est enim aliud, erranti viam non monstrare — quod Athenis exsecrationibus publicis sanctum est — si hoc non est, emptorem pati ruere et per errorem in maximam fraudem incurrere? Plus etiam*

*est, quam viam non monstrare: nam est scientem in errorem alterum inducere.“*

**62** Stobaeus Florileg. LXX, 13. *Ἀντιπάτρου ἐκ τοῦ περὶ γυναικὸς συμβιώσεως.*

*Πρῶτον μὲν χρὴ τὴν μνηστείαν μὴ εἰκῇ ποιήσασθαι ἀλλὰ πάνυ πεφροντισμένως, μηδ᾽ εἰς πλοῦτον μηδ᾽ εἰς ὀγκοῦσαν εὐγένειαν μηδὲ εἰς ἄλλην χάσμην μηδεμίαν ἀποβλέπειν, μηδὲ μὰ Δία εἰς κάλλος· καὶ γὰρ τοῦτο ὡς ἐπὶ πᾶν ὄγκον καὶ δεσποτικὸν ἦθος περιποιεῖ· ἀλλὰ πρῶτα μὲν τὸ τοῦ γονέως ἐξετάζειν ἦθος καὶ τρόπον, εἰ πολιτικὸς καὶ ἄφορτος ⟨καὶ⟩ εὐγνώμων, ἔτι δὲ σώφρων καὶ δίκαιος, ἐπὶ δὲ τούτοις ἀκενόσπουδος καὶ ⟨κατ᾽⟩ ἴχνος καὶ τὰ ἄλλα ⟨ἃ⟩ περὶ τοῦ ποίους τινὰς φίλους κτᾶσθαι δεῖ παραγγέλλεται. ἔπειτα καὶ τὴν μητέρα, ἣ ⟨ἡ⟩ γαμεῖσθαι μέλλουσα συντρέφεται καὶ τὸν ταύτης τρόπον κατὰ τὸ πλεῖστον ἀποπλάττεται. μετὰ ταῦτα εἰ ἀκολούθως τῷ ἑαυτῶν τρόπῳ ἦχασι τὴν θυγατέρα καὶ μὴ ἡττημένοι εἰσὶν καὶ ἀποκεκλικότες ἀπὸ τοῦ συμφέροντος διὰ τὴν ἄγαν φιλοστοργίαν· καὶ τοῦτο ποικίλως ἐξητακέναι καὶ διὰ δούλων καὶ ⟨δι᾽⟩ ἐλευθέρων τῶν τε ἔνδοθεν καὶ τῶν ἔξωθεν καὶ διὰ γειτόνων καὶ τῶν ἄλλων εἰσιόντων εἴσω διὰ φίλων ἐπιπλοκὰς ἑστιατικὰς ἢ ἄλλως, μαγείρων ἢ δημιουργῶν ἢ ἀκεστριῶν ἢ τῶν ἄλλων τεχνιτῶν καὶ τεχνιτίδων. καὶ λίαν γὰρ προχειρότερον τοὺς τοιούτους εἰσάγουσιν καὶ ὑπὲρ τὴν ἀξίαν μεγάλα πράγματα καὶ πίστιν ἐγχειρίζουσιν.*

**63** Stobaeus Florileg. LXVII 25. *Ἀντιπάτρου ἐκ τοῦ περὶ Γάμου.*

*Ὁ εὐγενὴς καὶ εὔψυχος νέος, ἔτι δ᾽ ἥμερος καὶ πολιτικός, θεωρῶν διότι τέλειος οἶκος καὶ βίος οὐκ ἄλλως δύναται γενέσθαι ἢ μετὰ γυναικὸς καὶ τέκνων· ἀτελὴς γὰρ ⟨οἰκία⟩, ὥσπερ πόλις, οὐχ ἡ ἐκ γυναικῶν μόνον, ἀλλὰ καὶ ἡ ἐκ ψιλῶν ἀνδρῶν· ὃν τρόπον τε ποίμνη ἐπιγονὴν μὴ ἔχουσα οὐ καλὴ οὐδὲ βουκόλιον εὐθηνοῦν, πολὺ μᾶλλον οὐδὲ πόλις οὐδ᾽ οἰκία· ταῦτά τε δὴ κατανενοηκὼς ὁ εὐγενὴς καὶ ὡς φύσει πολιτικὸν γενόμενον συναύξειν τὴν πατρίδα δεῖ· (καὶ γὰρ οὐκ ἂν ἄλλως δύναιντο αἱ πόλεις σῴζεσθαι, εἰ μὴ οἱ βέλτιστοι ταῖς φύσεσι τῶν πολιτῶν [ἢ] τῶν γενναίων παῖδες, τῶν πατέρων καθαπερεὶ φύλλων καλοῦ δένδρου ἀπομαραινομένων καὶ ἀποῤῥεόντων, οὗτοι καθ᾽*

---

9 *τοῦ γονέως* scripsi, *τῶν γονέων* vulgo. ‖ *εἰ* Jacobs, *ἐπεὶ* libri. 10 fortasse: *ἄφοβος.* ‖ *καὶ* add. Meineke. 11 *κατ᾽* addidi. ‖ *ἃ* add. Halm. 12 *παραγγέλλεται* Halm, *παραγγέλλεσθαι* libri. 13 *ἡ* add. Meineke. 14 *εἰ ἀκολούθως* Meineke, *ἐπακολούθως* libri. ‖ *τῷ* Jacobs, *πῶς* libri. 15 *ἀποκεκλικότες* scripsi, *ἀποβεβλεφότες* libri. 17 *δι᾽* addidi. 18 *εἰσιόντων* scripsi, *εἰσοδίων* vulgo. 27 *οἰκία* addidi. 30 *τε* scripsi, *δὲ* libri. 33 *ἢ* seclusi. ‖ *πατέρων* scripsi, *προτέρων* libri.

ὥραν γαμοῖεν, καθαπερεί τινας γενναίους βλαστοὺς διαδόχους τῇ πατρίδι καταλιπόντες, καὶ θάλλειν αὐτὴν ἀεὶ ποιοῖεν καὶ τὴν ἀκμὴν ἀΐδιον φυλάττοιεν καὶ ὅσον ἐφ' ἑαυτοῖς μηδέποτ' εὐεπίθετον τοῖς ἐχθροῖς, στοχαζόμενοι τοῦ καὶ ζῶντες καὶ μεταλλάξαντες ἀμύνειν τῇ πατρίδι καὶ βοηθεῖν) τῶν ἀναγκαιοτάτων καὶ πρώτων καθηκόντων νομίζουσι τὸ συγκραθῆναι εἰς γάμον, πᾶν μὲν το τῇ φύσει ἐπιβάλλον σπεύδοντες ἐπιτελεῖν, πολὺ δὲ μάλιστα τὸ εἰς τὴν τῆς πατρίδος σωτηρίαν καὶ αὔξησιν ἀνῆκον καὶ ἔτι μᾶλλον εἰς τὴν τῶν θεῶν τιμήν. εἰ γὰρ ἐκλείποι τὸ γένος, τίς τοῖς θεοῖς θύσει; λύκοι τινὲς ἢ „ταυροκτόνων γένος λεόντων."

Συμβέβηκε δὲ καὶ τὸν μὴ πεῖραν ἐσχηκότα γαμετῆς γυναικὸς καὶ τέκνων ἄγευστον εἶναι τῆς ἀληθινωτάτης καὶ γνησίου ⸱ εὐνοίας. αἱ μὲν γὰρ ἄλλαι φιλίαι ἢ φιλοστοργίαι ἐοίκασι ταῖς τῶν ὀσπρίων ἤ τινων ἄλλων παραπλησίων κατὰ τὰς παραθέσεις μίξεσιν, αἱ δ' ἀνδρὸς καὶ γυναικὸς ταῖς δι' ὅλων κράσεσιν, ὡς οἶνος ὕδατι καὶ τοῦτο ἐπιμέν⟨ων⟩ μίσγεται δι' ὅλων. οὐ γὰρ μόνον τῆς οὐσίας καὶ τῶν φιλτάτων πᾶσιν ἀνθρώποις τέκνων καὶ τῆς ψυχῆς, ἀλλὰ καὶ τῶν σωμάτων οὗτοι μόνοι κοινωνοῦσι. καὶ κατ' ἄλλον δὲ τρόπον εἰκότως μεγίστη ἐστίν. αἱ μὲν γὰρ ἄλλαι κοινωνίαι καὶ ἑτέρας τινὰς ἀποστροφὰς ἔχουσι· „ταύτας δ' ἀνάγκη πρὸς μίαν ψυχὴν βλέπειν" (Eur. Med. 247) τὴν τοῦ ἀνδρός (προστίθεται γὰρ ⟨οὕ⟩τω ἡ οὖσα πατρὸς καὶ μητρὸς μὴ ἀγνώμονος) ἕνα ⟨τε⟩ τοῦτον σκοπὸν τοῦ βίου ποιεῖσθαι καὶ τέλος, τούτῳ ἀρέσκειν, αὐτῶν τῶν γονέων ἑκατέρων παραχωρούντων ἑκουσίως τὰ πρῶτα τῆς εὐνοίας ἀπονέμειν τὴν μὲν τῷ ἀνδρί, τὸν δὲ τῇ γυναικί. οὐκ ἀπείρως δὲ τῆς πρὸς γυναῖκα συμβιώσεως καὶ ὁ Εὐριπίδης εἰς ταῦτα ἀποβλέψας καὶ ἀποθέμενος τὴν ἐν τῷ γράφειν μισογυνίαν ταῦτ' εἴρηκεν· (Phrixi frg. 819 N.)

> γυνὴ γὰρ ἐν νόσοισι καὶ κακοῖς πόσει
> ἥδιστόν ἐστι, δώματ' ἢν οἰκῇ καλῶς,
> ὀργήν τε πραΰνουσα καὶ δυσθυμίας
> ψυχὴν μεθιστᾶσ' · ἡδὺ κἀπάται φίλων.

τυγχάνει δὲ καὶ ἡρωϊκὸν τὸ πρᾶγμα· νῦν δ' ἐν ἐνίαις πόλεσιν ἅμα τῇ ἄλλῃ τῇ καθεστώσῃ ἐκλύσει καὶ ἀναρχίᾳ καὶ τῇ ἐπὶ τὸ καταφερὲς ⟨καὶ⟩ ῥᾴθυμον ἐπικλίσει καὶ τὸ γαμεῖν τῶν χαλεπωτάτων εἶναι δοκεῖ· τὸν δ' ἤθεον ⟨βίον⟩, ἐξουσίαν διδόντα πρὸς ἀκολασίαν καὶ ποικίλων ἡδονῶν ἀπόλαυσιν ἀγεννῶν καὶ μικροχαρῶν, ἰσόθεον νομίζουσι, τὴν

---

2 καὶ θάλλειν scripsi, οἱ θ. libri. 5 πρώτων Gesner, πρὸ τῶν libri. 15 ἐπιμένων scripsi, ἔτι μὲν libri. 21 γὰρ οὕτω ἡ οὖσα scripsi, γὰρ σώζουσα libri; γὰρ ἥ γε (vel ὡς) οὖσα Gaisf. 23 τούτῳ Gaisf., τούτων AB. 32 ἐνίαις Gesner, ἰδίαις libri. 34 καὶ add. Wyttenbach. 35 δ' ἤθεον βίον Meineke, δὴ θεὸν libri.

δὲ [πρὸς] τῆς γυναικὸς εἴσοδον οἱονεί τινος φρουρᾶς εἰς πόλιν εἰσαγωγήν. ἔοικε μέντοι δύσκολος ἐνίοις ὁ μετὰ γυναικὸς φαίνεσθαι βίος διὰ τὸ μὴ δύνασθαι ἄρχειν ἀλλ' ἡδονῆς δούλους εἶναι· καὶ τοὺς μὲν ὑπὸ τοῦ κάλλους τεθηρευμένους, τοὺς δ' ὑπὸ τῆς προικός, τὰ μὲν ἐπ' αὐτῇ ἑκουσίως καταχαρίζεσθαι τῇ γυναικὶ καὶ μὴ διδάσκειν περὶ οἰκονομίας μηθὲν μηδὲ περὶ αὐξήσεως οἴκου μηδὲ τίνος ἕνεκα συνεληλύθασι, μηδὲ περὶ θεῶν ⟨καὶ⟩ εὐσεβείας καὶ δεισιδαιμονίας καλὰς δόξας ἐμποιεῖν, μηδὲ τὸ τῆς τρυφῆς ὀλέθριον παριστάναι μηδὲ τὸ ἀχάριστον τῶν ἡδονῶν, μηδὲ ἐθίζειν ἀτενίζειν εἰς τὸ ἔμπροσθεν τοῦ βίου καὶ πᾶν τὸ μέλλον ὀρθῇ τῇ γνώμῃ ἐκλογίζεσθαι, μηδὲ αὖ τυφλῶς καὶ ἀσκέπτως εὔελπιν εἶναι, [μηδ'] ὅτι ἐὰν ὁ ἀνὴρ βουληθῇ, δύναται πάντως γενέσθαι ὧν ἐπιθυμεῖ, καὶ μὴ πρὸς τῷ παρόντι μόνῳ γίγνεσθαι, ἀλλὰ καὶ αὐτὴν συνεπιβλέπειν τὸ πόθεν καὶ πῶς καὶ εἰ σωτηρίως καὶ εἰ συμφερόντως εἰς τὰ ὅλα. ἐπεὶ καὶ εἴ τις ταῦτα καὶ τὰ ἄλλα τὰ καλῶς τεθεωρημένα καὶ παραγγελλόμενα παρὰ τοῖς φιλοσόφοις δύναιτο πράττειν, ἓν ἂν τῶν ἡδίστων καὶ κουφότατον εἶναι βάρος γαμετὴ γυνὴ δόξειε. ὁμοιότατον γάρ ἐστιν ὡς εἴ τις μίαν ἔχων χεῖρα ἑτέραν ποθὲν προσλάβοι ἢ ἕνα πόδα ἔχων ἕτερον ἀλλαχόθεν κτήσαιτο. ὡς γὰρ οὗτος πολὺ ἂν ῥᾷον καὶ βαδίσαι οὗ θέλοι κἀπελάσαι καὶ προσαγάγοιτο, οὕτως ὁ γυναῖκα εἰσαγαγόμενος ῥᾷον ἀπολήψεται τὰς κατὰ τὸν βίον σωτηρίους καὶ συμφερούσας χρείας. ἀντὶ γοῦν δύο ὀφθαλμῶν χρῶνται τέσσαρσι καὶ ἀντὶ δύο χειρῶν ἑτέραις τοσαύταις, αἷς καὶ ἀθρόως πράττοι ἂν ⟨καὶ⟩ ῥᾷον τὸ τῶν χειρῶν ἔργον. διὸ κἂν εἰ αἱ ἕτεραι κάμνοιεν, ταῖς ἑτέραις αὖ θεραπεύοιτο καὶ τὸ σύνολον δύο γεγονὼς ἀνθ' ἑνὸς μᾶλλον ἂν ἐν τῷ βίῳ κατορθοίη. διόπερ τὸν νομίζοντα τὴν εἴσοδον τῆς γυναικὸς καταβαρύνειν τὸν βίον καὶ δυσκίνητον ποιεῖν ὅμοιον ⟨οἶμαι⟩ πάσχειν, ὡς εἴ τις πλείονας πόδας κωλύοι προσλαβεῖν, ἵν' ἐὰν πολὺ δέῃ βαδίζειν μὴ ἐφελκώμεθα πολλούς, ἢ τῷ πλείονας χεῖρας κτωμένῳ μέμφοιτο· ὅταν γάρ τι δέῃ πράττειν ἐμποδίσεσθαι ὑπὸ τοῦ πλήθους αὐτῶν. κατὰ ταὐτὰ γὰρ καὶ εἴ τις προσλάβοι οἷον ἑαυτὸν ἕτερον (οὐθὲν γὰρ διοίσει εἴτε θῆλυ τοῦτό ἐστιν εἴτε ἄρρεν), πολὺ ἐλαφρότερον καὶ εὐκοπώτερον πάντ' ἂν πράξειεν τὰ ἔργα. φιλαγάθῳ ⟨δ'⟩ ἀνδρὶ καὶ θέλοντι σχολὴν ἄγειν ἢ περὶ τοὺς λόγους ἢ τὰ πολιτικὰ ἔργα ἢ ἄμφω

---

1 πρὸς del. Gaisf.; fortasse: γαμετῆς. 5 ἐπ' αὐτῇ scripsi, ὑπ' αὐτῆς libri. 7. 8 καὶ addidi et mox δεισιδαιμονίας καλὰς δόξας scripsi, δόξης καὶ δεισιδαιμονίας libri. 10 αὖ Meineke, ἂν libri. 11 μηδ' seclusi. 16 ἓν ἂν τῶν ἡδίστων scripsi, ὃ ἂν τῶν πλείστων libri. 17 δόξειε scripsi, δόξει libri. 19 κἀπελάσαι scripsi, καὶ γελάσαι libri. 23 καὶ addidi. 24 κἂν εἰ Meineke, καὶ ἐὰν libri. 27 οἶμαι add. Meineke. 30 ἐμποδισθήσεται B unde ἐμποδισθήσεσθαι Meineke dubit. 33 δ' addidi.

ταῦτα, καὶ τελείως τοῦτο ἀμετάθετόν ἐστιν. ὅσῳ γὰρ μᾶλλον αὐτὸς ἀπὸ τῆς οἰκονομίας ἀπέστραπται, τοσούτῳ μᾶλλον τὴν διαδεξομένην τὴν ⟨δι⟩οίκησιν παραληπτέον καὶ περὶ τὰ ἀναγκαῖα ἑαυτὸν ἀπερίσπαστον ⟨ποιητέον⟩. οὐ κακῶς καὶ ὁ κωμικὸς ἐπιτέμνει ⟨τὸ⟩

σχολαστής ἐστι· δεῖ δ' οἶμαι γαμεῖν
τὸν ἐπιμελῆ καὶ δυνατὸν οἰκονομεῖν ὄχλον
πλείω,

ἐπιφωνήσας·

τὸν ἀμελῆ μᾶλλον, ἐπιθυμοῦντα δὲ
σχολῆς, ἵν' ἔχων οἰκονόμον ἀδεῶς περιπατῇ.

**64** Athen. VIII p. 346c. *καίτοι γε Ἀντίπατρος ὁ Ταρσεύς, ὁ ἀπὸ τῆς στοᾶς, ἐν τετάρτῳ περὶ δεισιδαιμονίας λέγεσθαί φησι πρός τινων ὅτι Γάτις ἡ τῶν Σύρων βασίλισσα οὕτως ἦν ὀψοφάγος ὥστε κηρῦξαι ἄτερ Γάτιδος μηδένα ἰχθὺν ἐσθίειν· ὑπ' ἀγνοίας δὲ τοὺς πολλοὺς αὐτὴν μὲν Ἀταργάτιν ὀνομάζειν, ἰχθύων δὲ ἀπέχεσθαι.*

**65** Athenaeus XIV p. 643f. *ἡμεῖς δὲ ἃ μετεγράψαμεν ὀνόματα πλακούντων, τούτων σοι καὶ μεταδώσομεν, οὐχ ὡς τοῦ ⟨ὑπ'⟩ Ἀλκιβιάδου πεμφθέντος Σωκράτει [ὃν] Ξανθίππης καταγελασάσης ὁ Σωκράτης „οὐκοῦν, ἔφη, οὐδὲ σὺ μεθέξεις τούτου.“ (τοῦτο δὲ ἱστόρησεν Ἀντίπατρος ἐν τῷ πρώτῳ περὶ Ὀργῆς) ἐγὼ δέ, φιλοπλάκουντος ὤν, οὐκ ἂν περιεῖδον τὸν θεῖον ἐκεῖνον ἐξυβριζόμενον πλακοῦντα.*

**66** Plutarchus de Stoic. rep. cp. 4. *Καὶ μὴν Ἀντίπατρος ἐν τῷ περὶ τῆς Κλεάνθους καὶ Χρυσίππου διαφορᾶς ἱστόρηκεν, ὅτι Ζήνων καὶ Κλεάνθης οὐκ ἠθέλησαν Ἀθηναῖοι γενέσθαι, μὴ δόξωσιν τὰς αὑτῶν πατρίδας ἀδικεῖν.*

**67** Philodemus περὶ τῶν φιλοσόφων col. VII (VH[1] VIII)

διὰ τῶν κατὰ (τὴν
π)ολιτείαν ἀπ(ό)ρων καὶ ἀν . .
. ων ὡς ἀρέσκοντα καταχω-
ρί)ζει· καὶ Ἀντίπατ(ρ)ος ἐν τῶ(ι
κατὰ τῶν αἱρέσεων τῆς τε τοῦ
Ζήνωνο(ς) μιμνήσκεται πολι-
τείας κα(ὶ τ)ῆς τοῦ Διογένους δ(ό-
ξης ἣν κα(τ)εχώρισεν ἐν τῇ πο-
λιτείᾳ, τ(ῆ)ς ἀπαθίας καταπλη(θυ-

---

1 ταῦτα scripsi, ταῦτ' εἰ libri. ‖ ἀμετάθετον scripsi, εὐμετάθετον libri. 3 διοίκησιν Gesner, οἴκησιν libri. 4 ποιητέον addidi, τηρητέον add. Gesner. ‖ τὸ addidi. 15 Ἀταργάτις dea in titulis Deliis (bull. de corr. hell. 6, 495) Kaibel. 18 τούτων Coraes, ὧν A. ‖ ὑπ' add. Cas. 19 ὃν delevi.

*νόμενος αὐτ(οῦ . . . . . . αι ι . . .*
*τινες· ἀλλ' οὐκ ἔστ(ιν) ἡ πολιτεί-*
*α) τοῦ Σι(ν)ωπέως . . ἀλλ' ἑτέ(ρου*
*τι)νός*

## Sosigenes.

Alexander de mixtione p. 216 Bruns. *τῶν γὰρ μετ' αὐτὸν* (scil. *Χρύσιππον*) *οἱ μὲν Χρυσίππῳ συμφέρονται, οἱ δέ τινες αὐτῶν, τῆς Ἀριστοτέλους δόξης ὕστερον ἀκοῦσαι δυνηθέντες, πολλὰ τῶν εἰρημένων ὑπ' ἐκείνου περὶ κράσεως καὶ αὐτοὶ λέγουσιν, ὧν εἷς ἐστι καὶ Σωσιγένης, ἑταῖρος Ἀντιπάτρου, οἷς οὐ δυνάμενοι πάντη συμφέρεσθαι διὰ τὴν ἐν τοῖς ἄλλοις διαφωνίαν ἐν πολλοῖς αὐτοῖς λέγοντες εὑρίσκονται μαχόμενα.*

## Heraclides Tarsensis.

Diogenes Laërt. VII 121. *Ἡρακλείδης μέντοι ὁ Ταρσεύς, Ἀντιπάτρου τοῦ Ταρσέως γνώριμος, καὶ Ἀθηνόδωρος ἄνισά φασι τὰ ἁμαρτήματα.*